σαν ἐπὶ ἔτη πολλά, σύντονόν τε καὶ ἀδιάπνευστον περὶ
τὰ δυσληπτότατα τῶν θεωρημάτων ἐξέτασίν τε καὶ ἀνάληψιν·
διὰ ταὐτὰ δὲ καὶ ἀνοινίαν καὶ ὀλιγοσιτίαν καὶ ὀλιγοϋπνίαν, 69
δόξης δὲ καὶ πλούτου καὶ τῶν ὁμοίων ἀνεπιτήδευτον ⟨περι-⟩
φρόνησίν τε καὶ κατεξανάστασιν, καὶ αἰδῶ μὲν ἀνυπόκριτον
πρὸς τοὺς προήκοντας, πρὸς δὲ τοὺς ὁμήλικας ἄπλαστον
ὁμοιότητα καὶ φιλοφροσύνην, συνεπίτασίν τε καὶ παρόρμη-
σιν πρὸς τοὺς νεωτέρους φθόνου χωρίς, φιλίας δὲ πάντων
πρὸς ἅπαντας, εἴτε θεῶν πρὸς ἀνθρώπους δι᾽ εὐσεβείας
καὶ ἐπιστημονικῆς θεραπείας, εἴτε δογμάτων πρὸς ἄλληλα
καὶ καθόλου ψυχῆς πρὸς σῶμα λογικοῦ τε πρὸς τὰ τοῦ
ἀλόγου διὰ φιλοσοφίας καὶ τῆς κατὰ ταύτην θεωρίας, εἴτε
ἀνθρώπων πρὸς ἀλλήλους, πολιτῶν μὲν διὰ νομιμότητος
ὑγιοῦς, ἑτεροφύλων δὲ διὰ φυσιολογίας ὀρθῆς, ἀνδρὸς δὲ
πρὸς γυναῖκα ἢ ἀδελφοὺς καὶ οἰκείους διὰ κοινωνίας ἀδια-
στρόφου, εἴτε συλλήβδην πάντων πρὸς ἅπαντας καὶ προσέτι
τῶν ἀλόγων ζῴων τινὰ διὰ δικαιοσύνης καὶ φυσικῆς ἐπι-
πλοκῆς καὶ κοινότητος, εἴτε καὶ σώματος καθ᾽ ἑαυτὸ θνη-
τοῦ τῶν ἐγκεκρυμμένων αὐτῷ ἐναντίων δυνάμεων εἰρήνευ-
σιν καὶ συμβιβασμὸν δι᾽ ὑγείας καὶ τῆς εἰς ταύτην διαίτης
καὶ σωφροσύνης κατὰ μίμησιν τῆς ἐν τοῖς κοσμικοῖς στοι-
χείοις εὐετηρίας. πάντων τούτων [ἓν] ἑνὸς καὶ τοῦ αὐτοῦ 70
κατὰ σύλληψιν καὶ συγκεφαλαίωσιν ὀνόματος ⟨ὄντος⟩, τοῦ
τῆς φιλίας, εὑρετὴς καὶ νομοθέτης ὁμολογουμένως Πυθα-
γόρας, καὶ διόλου τῆς ἐπιτηδειοτάτης πρὸς θεοὺς ὁμιλίας

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481813/45 UNIVERSITÄT LEIPZIG